**Κυριακὴ 18 Νοεμβρίου. Μνήμη τῶν ἁγίων μαρτύρων Πλάτωνος καὶ Ῥωμανοῦ. Ἦχος βαρύς. Ἑωθινὸν β'.**

**Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν**

## Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα*…ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' ἀναστάσιμα στιχηρά· *Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ*…*Σταυρὸν ὑπέμεινας Σωτήρ*…*Ἀπόστολοι ἰδόντες*…δευτεροῦντες τὸ α'. Δόξα…Καὶ νῦν…τὸ δογματικὸν θεοτοκίον· *Φρικτὸν καὶ ἄρρητον ὄντως*…Τό· *Φῶς ἱλαρόν*…τὸ Προκείμενον τῆς ἡμέρας μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον ψάλλομεν τὸ ἀναστάσιμον στιχηρόν· *Ἀνέστης ἐκ τοῦ τάφου*…εἶτα τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Ἀνατολὴ τοῦ Ἡλίου*… *Ῥάβδος ῥίζης Παρθένε*…*Πύλη Θεοῦ Παναγία*…Δόξα, Καὶ νῦν…τὸ ἐγκωμιαστικὸν θεοτοκίον· *Ἐκ σοῦ Παναγία Θεοτόκε Παρθένε*…Τό· *Νῦν Ἀπολύεις*…Τὸ τρισάγιον καὶ τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον*…Δόξα…Καὶ νῦν…τὸ ὁμόηχον θεοτοκίον· *Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα*…Ἀπόλυσις.

## Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ψάλλομεν τὸν κανόνα τῆς Θεοτόκου κατ' ἦχον καὶ ἡμέραν· *Μῶμος ἐν σοὶ οὐκ ἔστι*…(ἐκ τοῦ Θεοτοκαρίου τοῦ ἁγίου Νικοδήμου τοῦ ἁγιορείτου). Εἰς δὲ τὸ τρισάγιον, ἡ ὑπακοὴ τοῦ ἤχου· *Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν*…Ἐν τέλει, μετὰ τό· *Τῇ Ὑπερμάχῳ*… οἱ κδ' οἶκοι τῆς Θεοτόκου.

## Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τό· *Μακάριος ἀνήρ*…ὅλον. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*…ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'· *Δεῦτε ἀγαλλιασώ-*

*μεθα τῷ Κυρίῳ...Σταυρὸν ὑπέμεινας Σωτήρ...Ἀπόστολοι ἰδόντες...ἀνα*-τολικὸν στιχηρὸν ἓν· *Κἂν συνελήφθεις Χριστὲ...*τοῦ ἁγίου Πλάτωνος προσόμοια γ'· *Πλήρης γενναίου φρονήματος...Πᾶσαν ὑπερβὰς τὴν αἴσθησιν...Πᾶσαν τοῦ ἐχθροῦ τὴν ἔφοδον...*τοῦ ἁγίου Ῥωμανοῦ προσόμοια γ'· *Τῇ ἀσκήσει πυρουμένος...Ἀναρτήσει ξεόμενος...Ῥητορεύει τὸ νήπιον...* Δόξα...τὸ ἰδιόμελον τοῦ ἁγίου Πλάτωνος· *Φοβερὰ καὶ παράδοξα...*Καὶ νῦν...,τὸ α' θεοτοκίον τοῦ ἤχου· *Μήτηρ μὲν ἐγνώσθης...*Εἴσοδος. Τὸ· *Φῶς ἱλαρόν...*τὸ προκείμενον τῆς ἡμέρας· *Ὁ Κύριος ἐβασίλευσεν...*μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ στιχηρὸν τοῦ ἁγίου τοῦ ναοῦ ἢ τοῦ ἁγίου τῆς μονῆς. *Δόξα καὶ νῦν,* τὸ εἰς τὸν αὐτὸν ἦχον τοῦ ἰδιομέλου, θεοτοκίον. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Ἀνέστης ἐκ τοῦ τάφου...*εἶτα τὰ γ' στιχηρὰ, τὰ κατ' ἀλφάβητον· *Τὸν ἀναστάντα ἐκ νεκρῶν...Ὑπὸ τὸν Ἅδην κατελθὼν Χριστέ...Φοβερὸς ὤφθης Κύριε...* Δόξα...Καὶ νῦν...,τὸ θεοτοκίον· *Ὑπὸ τὴν σὴν Δέσποινα σκέπην...* Τό· *Νῦν ἀπολύεις...*καὶ τὸ τρισάγιον. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον· *Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον...*ἅπαξ. Εὐθὺς τὸ· *Θεοτόκε Παρθένε...*Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς.

**Μὴ τελουμένης ἀγρυπνίας,** ἀπολυτίκια εἰς τὸν μέγαν ἑσπερινὸν (καταλιμπανομένου τοῦ μικροῦ) λέγομεν, ὡς ἐσημειώθησαν ἐν τῷ μικρῷ. Τῇ δὲ Κυριακῇ πρωΐ, **ἐν τῷ μεσονυκτικῷ,** ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Ἄνοιξόν μου τὸ στόμα...*Τὰ *Ἄξιόν ἐστιν...Τρισάγιον,* καὶ ἡ ὑπακοὴ τοῦ ἤχου· *Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν...*καὶ τὰ λοιπὰ τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ ὄρθρῳ

Εἰς τὸ· *Θεὸς Κύριος...*τὸ ἀναστάσιμον ἀπολυτίκιον *Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον...*Δόξα· *τὸ αὐτὸ...*Καὶ νῦν...τὸ ὁμόηχον θεοτοκίον· *Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα...*Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον* γ', Δόξα, καὶ νῦν...Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος

αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος...*Ὁ χορός· *Ἀμήν,* καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἡ Ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο...*Δόξα· *Τῇ τριημέρῳ ταφῇ σου...*Καὶ νῦν, τὸ θεοτοκίον· *Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν...*Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...* Ὁ χορός· *Ἀμήν,* καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἐσφραγισμένου τοῦ μνήματος...*Δόξα· *Ἐπὶ τὸ μνῆμα ἔδραμον γυναῖκες...* Καὶ νῦν, τὸ θεοτοκίον· *Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε...*Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια.* Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν...* Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον αὐτοῦ καὶ ἅπασα ἡ τάξις τοῦ ἑωθινοῦ β' Εὐαγγελίου. Εἶτα τό· *Ἀνάστασιν Χριστοῦ...*Ὁ ν' ψαλμός. Δόξα· *Ταῖς τῶν Ἀποστόλων...*Καὶ νῦν· *Ταῖς τῆς Θεοτόκου...*Εἰς τὸν στίχον τό· *Ἀναστὰς ὁ Ἰησοῦς...*

**Εἶτα οἱ κανόνες·** ὁ ἀναστάσιμος, μετὰ τῶν εἱρμῶν, εἰς δ' τροπάρια, ὁ σταυροαναστάσιμος, ἄνευ εἱρμῶν, εἰς γ' τροπάρια, ὁ τῆς θεοτόκου, ἄνευ εἱρμῶν, εἰς γ' τροπάρια, καὶ τοῦ ἁγίου, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια. Λέγομεν δὲ καὶ τοὺς ιβ' στίχους τῆς στιχολογίας ἐν ἑκάστῃ ᾠδῇ, εἰς δὲ τὰ δύο τελευταῖα τό· *Δόξα...*καὶ τό· *Καὶ νῦν...* Καταβασίαι· *Ἀνοίξω τὸ στόμα μου...*μετὰ τῶν χαρακτηριστικῶν καταλήξεων τῆς ἑορτῆς τῶν Εἰσοδίων τῆς Θεοτόκου. Ἀπὸ γ' ᾠδῆς, κάθισμα τοῦ ἁγίου· *Τῶν ἀγώνων τῷ πλάτει Μάρτυς σοφὲ...*Δόξα· *Ὡραῖος πεφυκὼς...*Καὶ νῦν, τὸ θεοτοκίον· *Κυβέρνησον Ἁγνή, τὴν ἀθλίαν ψυχήν μου...*Ἀφ' ἕκτης τὸ ἀναστάσιμον κοντάκιον· *Οὐκέτι τὸ κράτος τοῦ θανάτου...*καὶ ὁ οἶκος· *Ἔτρεμε κάτωθεν τὰ καταχθόνια σήμερον...*Συναξάριον. **Ἡ τιμιωτέρα στιχολογεῖται.**

**Τὸ· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν*...**ἐκ γ' καὶ τὸ· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*...εἶτα τὸ ἐξαποστειλάριον, τὸ β' ἀναστάσιμον· *Τὸν λίθον θεωρήσασαι*...καὶ τὸ Θεοτοκίον αὐτοῦ· *Ἄγγελος μὲν ἐκόμισε*...Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ δ'· *Ἀνέστη Χριστὸς ἐκ νεκρῶν*...*Ἀνάστασιν Χριστοῦ θεασάμενοι*...*Χριστοῦ τὴν Ἀνάστασιν*...*Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ*...ανατολικά στιχηρά δ'· *Πύλας Ἄδου συνέτριψας Κύριε*...*Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ*... *Ἐξαστράπτων Ἄγγελος*...*Τί ἀπεδοκιμάσατε τὸν λίθον*...Δόξα...τὸ β' Ἑωθινὸν ἰδιόμελον· *Μετὰ μύρων προσελθούσαις*...Καὶ νῦν· *Ὑπερευλογημένη*... Δοξολογία μεγάλη...καὶ τὸ ἀναστάσιμον τροπάριον μόνον· *Ἀναστὰς ἐκ τοῦ μνήματος*...Ἐκτενής, ἀπόλυσις. Ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν δὲ ἐν ταῖς ὥραις, Δόξα...τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον*...Καὶ νῦν· τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον, ἡ ὑπακοὴ τοῦ ἤχου· *Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν*...

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς η' τροπάρια. Εἰσοδικὸν τὸ· *Δεῦτε προσκυνήσωμεν*...*ὁ ἀναστὰς ἐκ νεκρῶν*...Ἀπολυτίκια μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον· *Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον*...τοῦ ἁγίου τοῦ ναοῦ ἢ τοῦ ἁγίου τῆς μονῆς...Δόξα, ἡ ὑπακοὴ τοῦ ἤχου *Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν*...Καὶ νῦν· *Ὁ καθαρώτατος Ναὸς τοῦ Σωτῆρος*...Τρισάγιον. Προκείμενον καὶ ἀλληλουϊάριον τοῦ ἤχου. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Ἀπόστολος· *Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν*...(Ἐφεσ. β' 14-22), ὁ ζήτει τῇ εἰκοστῇ τετάρτῃ Κυριακῇ τῶν ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου. Εὐαγγέλιον· *Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα*...(Λουκ. ιβ' 16-21), ὁ ζήτει τῇ ἐνάτῃ Κυριακῇ τῶν κατὰ Λουκᾶν Εὐαγγελίων. Εἰς τὸ· *Ἐξαιρέτως*...τὸ· *Ἄξιόν ἐστίν*...Κοινωνικὸν· *Αἰνεῖτε τὸν Κύριον*...*Εἴδομεν τὸ φῶς*...*Πληρωθήτω*...*Εἴη τὸ ὄνομα*

*Κυρίου…*ἐκ γ', Δόξα…Καὶ νῦν…οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον… Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἡ ἀπόλυσις.